829

# ΕΙΔΥΛΛΙΟΝ

ΕΙΣ ΤΗΝ

## ΚΕ΄ ΑΜΦΙΕΤΗΡΙΔΑ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ

ΤΗΣ Α. Μ.

## ΓΕΩΡΓΙΟΥ ΤΟΥ Α΄

ΚΑΤ᾽ ΕΝΤΟΛΗΝ

**ΤΗΣ ΑΚΑΔΗΜΑΪΚΗΣ ΣΥΓΚΛΗΤΟΥ**

ΥΠΟ

Ι. ΠΑΝΤΑΖΙΔΟΥ

---

1863 - 1888

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΘΑΛΑΤΤΗΣ

# ΕΙΔΥΛΛΙΟΝ

**Ξένος**

Εἰ δ᾽ ἄγε μοι τόδε εἰπὲ μάλ᾽ ἀτρεκέως, φίλε ἀστέ,
ὅττι τόσον βρέμεται κλειτὸν πτολίεθρον Ἀθήνης·
οἵδε μὲν ἑστᾶσιν κατὰ κόσμον τεύχε᾽ ἔχοντες,
οἳ δὲ λίην χαίροντες ὁμῶς ἀνὰ ἄστυ φέρονται,
ἠῶθεν δὲ θαμὰ βρονταὶ περιήχεον ὅλμων,
σήματα δ᾽ ἀμφὶ δόμοισιν ἐΰχροα πᾶσι πέπηγεν.
Ἦ ῥ᾽ ἄγεται κατὰ δῆμον ἑορτή τις πολυγηθής;

**Ἀθηναῖος**

Ὦ ξεῖν᾽, ἦ μάλα τηλόθεν εἰλήλουθας, ἐπεί σε
ταῦτα λέληθεν, ἅ τ᾽ ἔνδοθι πᾶσιν θυμὸν ἰαίνει,
ἠμὲν ὅσοι πτολίεθρον Ἀθήνης ὑψικάρηνον,
ἠδ᾽ οἳ πάντῃ ἀν᾽ Ἑλλάδ᾽ εὐκλέα ναιετάουσι.

**Ξένος**

Οὔπως ἔστι με ταῦτά γε ἴδμεν, ξεῖνον ἐόντα·
ἀλλὰ σὺ τῶνδέ γ᾽ ἔνισπε τό κεν μάλα θυμὸς ἀνώγῃ.

ΒΙΒΛΙΟΘ
Μ. ΦΑΛΤΑΙΤΣ

**'Αθηναῖος**

Ἦ που μὲν τόγε οἶσθα, παλαιτέρου ἀνδρὸς ἀκούσας,
ὁππόσα πήματα λυγρὰ πολύτλας λαὸς 'Αχαιῶν
πρὸς Τούρκων στυγερῶν γενεῆς ὀλοόφρονος ἔτλη,
ὅσσα τε ἄσπετα ἔργα ὑπερκύδαντα μόγησε,
δουλοσύνην ἀπαλαλκέμεν ἑπτάετες μενεαίνων.
'Αλλ' ὅτε δὴ ἔτος ἦλθε, περιπλομένων ἐνιαυτῶν,
τῷ σφιν ἐπεκραίαινε Θεὸς ἰδέειν μέγαν ὄλβον,
δὴ τότε τοῖσιν ἐπῆλθεν ἌΘΩΝ βασιλεὺς μέγ' ἀμύμων,
ὅς σφισιν ἐμβασίλευε, πατὴρ δ' ὣς ἤπιος ἦεν.
'Αλλ' ὅγε οὔπως πᾶσιν ἑάνδανε τοῖσιν ἀρίστοις,
οὐδ' ὅγε γείνατο παῖδα, ὅ κεν μετόπισθεν ἀνάσσοι,
οὐδέ γ' ἔσαν οἱ πάντες ἄνακτες εὔφρονες, οἵτε
Εὐρώπην κάτα κοιράνεον κρατερῆφι βίηφι.
Ἤτοι Ὄθων βασιλεὺς σύν τ' ΑΜΑΛΙΗ βασίλεια,
ἀνδρῶν 'Ελλήνων νόον ἱέμενοι σάφα ἴδμεν,
ἤλυθον ἄστεα πολλά, ἀρέσσασθαι μεμαῶτες,
εἴ τι ἀνάρσιον εἴη· ἃ μέντοι φράζετο κεῖνος
ᾗσιν ἐνὶ φρεσὶ πόλλ' ἀγαθῇσι, τάδ' οὐκ ἐτελέσθη.
Ὣς δ' ὅτε πῦρ ὀλοὸν δαίῃ δόμον ἀφνειοῖο
ἀνδρός, ὑπόκλοπον ἕρπον, ἄφαρ δέ τε ἔνθα καὶ ἔνθα
ἐκθρώσκουσι φλόγες, διὰ δὲ πρήθουσι μέλαθρον,
ὣς τότε ἔνθα καὶ ἔνθα καθ' 'Ελλάδα ὤρετο νεῖκος
καὶ στάσις ἀντιβίη, ἀποπεμπέμεναι Βασιλῆα.
Ταῦτ' ἐπεὶ οὖν ἐνόησεν Ὄθων Βασιλεὺς μεγάθυμος,
ἂψ ἀπονοστῆσαι βουλεύσατο ἄστυδ' 'Αθήνης.
'Αλλ' ὅτε νηὶ θοῇ Σαλαμῖνος ἐς ὅρμον ἵκανεν,
δὴ τότ' ἐνὶ φρεσὶν ὀξὺ νοήσας ὡς ἔο αὐτοῦ
τεύχε' ἀείρονται πολεμήϊα πάντοθεν ἄντα,

οὐκέτι δηθύνειν οὐδ' ἐν θρόνῳ ἔλδετο ἧσθαι,
ἀλλ' ὅγε αὐτῆμαρ παλίνορσος ἐῇ σὺν ἀκοίτι
ᾤχετο Βαυαρίηνδε, διχοστασίην δ' ἀπάμυνεν
Ἑλλάδι, τὴν περὶ κῆρι Ὄθων βασιλεὺς φιλέεσκεν.
Ὣς ὁ μὲν ἀχνύμενος πάλιν ᾤχετο· κήδεα μέντοι
Ἑλλάδι πολλὰ ἐφῆπτο· ἔρις γὰρ ἀριστήεσσι
πᾶσι κακὴ καὶ νεῖκος ὀρώρει, οὔτινα οἷον
ἐν σφίσι δὴν τετληόσιν ἄρχειν, ᾗ θέμις ἦεν·
ὡς πολυκοιρανίης ὀλοώτερον οὔτι που ἄλλο.
Αὐτὰρ ἐπειδὴ πολλὰ πάθον πόλιές τε καὶ ἄνδρες,
κτεινόμενοι ληϊζόμενοί τε κατὰ σφέας αὐτούς,
ἔνθα φάος γλυκερὸν προφαάνθη τηλόθε λάμπον
Ἑλλάδι ἐκ Δανίης, γεραρῆς δὲ φύτλης βασιλήων,
φαίδιμος ἠΐθεός τε ΓΕΩΡΓΙΟΣ Ὀλβιοπύργου
Χριστιανοῦ πάϊς ὀλβιοδαίμονος, Ὃν διὰ βουλὰς
οὐρανίοιο Θεοῖο γέροντες πάντες ἕλοντο,
κήρυκες δ' ἀνὰ ἄστυ ἐκήρυξαν βασιλῆα.
Οἱ δέ νυ λαοὶ ἐπασσύτεροι θέον Ὑψιμέδοντος
εἰς ἱεροὺς νηούς, ἅμ' ἐπευξόμενοι Θεῷ πατρί,
ὅ σφιν ἐῢ φρόνεεν, λυγρὸν δ' ἀπάμυνεν ὄλεθρον.
Ἀλλ' ὅτε δὴ μετόπισθε ΓΕΩΡΓΙΟΣ ἵκετο Αὐτός,
ἀστέρ' ὀπωρινῷ ἐναλίγκιος, κάλλεϊ λάμπων,
πάντες δὴ μάλ' ἐπεσσύμενοι προχέοντ' ἀν' ἀγυιὰς
λαοί, σφόν γ' ἰδέειν μεμαῶτες ἐὺν βασιλῆα,
σὺν δ' ἰάχοντες ἀνῖσχον χεῖρας ἐς οὐρανὸν εὐρὺν
γηθοσύνῃ, ὅτι νῦν δὴ ἔχουσιν ἀμύμον' ἄνακτα.
Εἴκοσιν οὖν καὶ πέντε Θεοῦ βεβάασ' ἐνιαυτοί,
ἐξ οὗ δὴ τὰ πρῶτα ΓΕΩΡΓΙΟΣ ἐς τόδε ἄστυ
ἵκετο. Πῶς νῦν ἑορτὴν οὐ μεγάλην ἀγέμεν χρή;
Αὐτὸς μὲν γὰρ ἔειπε ΓΕΩΡΓΙΟΣ αὐτίκα πᾶσι

οὐκ ἄλλως ἐθέλειν βασιλευέμεν ἢ φιλότητι
λαοῦ, συνθεσίας δὲ καὶ ὅρκια πιστὰ φυλάσσων.
Τῷ δ᾽ ἤδη μὲν ἅπασιν ἑάνδανε τοῖσιν ἀρίστοις,
καὶ νῦν πάντες ἔκηλοι ἔσαν φιλέοντες Ἄνακτα,
οἱ δέ νυ λαοὶ γηθόσυνοι περὶ ἔργα πένοντο,
οὐδέ τις ἐν σφίσιν ἦεν ἔρις πολέμοιο κακοῖο.
Αὐτὰρ ἔπειτ᾽ ἄλοχον γῆμ᾽ εἶδος ἀρίστην ΟΛΓΑΝ,
Ῥωσσίδα δῖαν ἄνασσαν ἰδ᾽ ἐκ γενεῆς μεγαθύμου,
ἡδυεπῆ, χαρίεσσαν ἰδὲ φρεσὶ μειλιχίῃσι
πάντοσ᾽ ἐποιχομένην, ὅθι ἄλγεα ἔστι βροτοῖσι.
Τοῖσι δὲ δῶκε Θεὸς καὶ ἀγλαὰ τέκνα φέριστα,
ΚΩΝΣΤΑΝΤΙΝΟΝ ἄνακτα ἀριπρεπέ᾽, ὅς τε καὶ ἔστι
Διάδοχος βασιλείης, χάρμα Τοκεῦσί τε καὶ Παναχαιοῖς
καὶ μνηστὴρ πολυάρητος γεραρῷ ἐνὶ οἴκῳ,
ἠδὲ ΓΕΩΡΓΙΟΝ, ἄνδρα μέγαν στιβαρόν τ᾽ ἐνὶ πόντῳ.
Τοῖσι δὲ καὶ θυγάτηρ γένετ᾽ ἀγλαΐῃ περιοῦσα,
θαῦμα ἰδέσθαι, ΑΛΕΞΑΝΔΡΑ πολύαινος ἄνασσα,
ἠδὲ καὶ ἄλλοι παῖδες ἐπίφρονες εἶδος ἀγητοί.
Ὣς τοι θῆκε ΓΕΩΡΓΙΟΣ Οἷο θρόνοιο θέμεθλα
ἔμπεδα, τοίους παῖδας ἔχων, περὶ πάντων ἀρίστους.
Τοὔνεκά Μιν περὶ κῆρι λίην φιλέουσιν Ἀχαιοί.
Ἕλλησιν δέ τε πᾶσι μί᾽ ἔστι ΓΕΩΡΓΙΟΣ ἐλπίς·
ἐξ οὗ γὰρ δὴ Κεῖνος ἐς ἡμετέρην χθόνα ἦλθεν,
Ἑλλήνων ὁμὰ φῦλα, τὰ δουλοσύνῃ κατέχοντο,
εἶδον ἐλεύθερον ἦμαρ. Ὃ δ᾽ ἄσπετον ἤρατο κῦδος,
οὕνεκα πρὶν στενάχοντας ὑπὸ ζυγῷ ὀκρυόεντι
Αὐτὸς ὑπὸ σκῆπτρον Ἑὸν ἤγαγεν ἡδὺ γελῶντας.
Τῶν μέν νυν πρώτιστοι, ἐλευθερίης μεμαῶτες,
πρόφρονες ἦλθον ἅμ᾽ Αὐτῷ ἄνακτι ὅσοιπερ νήσους
ἀμφιρύτας πολυανθέας Ἰονίους ναίουσιν·

τοῖς δ' ἔπι Θεσσαλίης ἐριβώλακος ἀθρόα φῦλα,
Μαγνήτων τε δαΐφρονες υἷες ἰδ' ἴφθιμοι ἄνδρες
Ἀμπρακιῶται, ὑπέρμορα νοσφισθέντες ἀδελφῶν.
Ὣς ποθέουσι καὶ ἄλλοι ὁμαίμονες, οἳ κακὰ πολλὰ
χερσὶ δαμέντες ὑπ' ἀνδροφόνοις Τούρκων μογέουσι,
κοιρανέεσθαι χειρὶ ΓΕΩΡΓΙΟΥ πατρὸς Ἄνακτος.
Νῦν ῥα πέπυσσαι, ξεῖνε φίλ', οὕνεκα τίομεν ὧδε
ἡμέτερον Βασιλῆα ΓΕΩΡΓΙΟΝ, εὐχόμενοί Οἱ
ἔμμεναι ὄλβια πάντα παρ' Ὑψίστοιο Θεοῖο
πάντα τελεσθῆναί τε, ὅσα φρεσὶν Ἧσι μενοινᾷ.

Σημ. Ὁ στίχος 84 ἀπέβη ὑπέρμετρος, ἤγουν ἑπτάμετρος ἀντὶ ἑξαμέτρου. Αἰτία τούτου εἶνε ἡ μεγάλη σπουδή, μεθ' ἧς ἔγεινεν ἡ ἀντιγραφὴ καὶ ἡ καλλιγράφησις τοῦ ποιηματίου. Ὅθεν ἐν ᾧ ἐν τῷ πρωτογράφῳ διωρθώθη ὁ παρατηρηθεὶς ὑπέρμετρος οὗτος στίχος, καὶ ἀντὶ τοῦ Διάδοχος βασιλείης προσεγράφη Διάδοχος Πατρί, κατὰ τὴν ἐσπευσμένως γενομένην ἀντιγραφὴν ἀλογίστως παρελήφθη ἡ πρώτη γραφή. Οὕτω δὲ καὶ ἐκαλλιγραφήθη ἐν τῷ λευκώματι· διὸ καὶ δὲν ἔκρινα καλὸν νὰ μεταβάλω τὸν στίχον ἐνταῦθα. Ἡ ἐν τῇ «Ἐφημερίδι» ἐπίσης ἐσπευσμένη δημοσίευσις τοῦ εἰδυλλίου τούτου ἔγεινεν αἰτία καὶ ἄλλων τινῶν ἁμαρτημάτων, ἅπερ ἐνταῦθα διωρθώθησαν.

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΦΑΛΤΑΙΤΣ

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΩΑΛΤΑΓΓΣ

ΤΥΠΟΙΣ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ